# A Call to Faithfulness

Hebrews 3:1-6




Ὅθεν, ἀδελφοὶ ἅγιοι, κλήσεως ἐπουρανίου μέτοχοι,
κατανοήσατε τὸν ἀπόστολον καὶ ἀρχιερέα τῆς ὁμολογίας
ἡμῶν Ἰησοῦν, πιστὸν ὄντα τῷ ποιήσαντι αὐτὸν ὡς
καὶ Μωϋσῆς ἐν [ὅλῳ] τῷ οἴκῳ αὐτοῦ. (Heb. 3:1-2)

[A CALL TO FAITHFULNESS: Hebrews 3:1-6]




πλείονος γὰρ οὗτος δόξης παρὰ Μωϋσῆν ἠξίωται καθ’ ὅσον
πλείονα τιμὴν ἔχει τοῦ οἴκου ὁ κατασκευάσας αὐτόν.
πᾶς γάρ οἶκος κατασκευάζεται ὑπό τινος, ὁ δὲ πάντα
κατασκευάσας θεός. (Heb. 3:3-4)




καὶ Μωϋσῆς μὲν πιστὸς ἐν ὅλῳ τῷ οἴκῳ αὐτου
ὡς θεράπων· εἰς μαρτύριον τῶν λαληθησομένων,
Χριστὸς δὲ ὡς υἱὸς ἐπὶ τὸν οἶκον αὐτοῦ·
οὗ οἶκός ἐσμεν ἡμεῖς, ἐάν[περ] τὴν παρρησίαν
καὶ τὸ καύχημα τῆς ἐλπίδος κατάσχωμεν. (Heb. 3:5-6)